κίλον αὐτῶν ἐκδύσονται· ἐκστάσει ἐκστήσονται, ἐπὶ γῆν καθε-
δοῦνται καὶ φοβηθήσονται τὴν ἀπώλειαν αὐτῶν καὶ στενάξουσιν
ἐπὶ σέ· [17]καὶ λήμψονται ἐπὶ σὲ θρῆνον καὶ ἐροῦσίν σοι Πῶς 17
κατελύθης ἐκ θαλάσσης, ἡ πόλις ἡ ἐπαινεστὴ ἡ δοῦσα τὸν φόβον
αὐτῆς πᾶσι τοῖς κατοικοῦσιν αὐτήν; [18]καὶ φοβηθήσονται αἱ νῆσοι 18
ἀφ᾽ ἡμέρας πτώσεώς σου. [19]ὅτι τάδε λέγει κύριος κύριος Ὅταν 19
δῶ σε πόλιν ἠρημωμένην ὡς τὰς πόλεις τὰς μὴ κατοικηθησομένας
ἐν τῷ ἀναγαγεῖν με ἐπὶ σὲ τὴν ἄβυσσον καὶ κατακαλύψῃ σε ὕδωρ
πολύ, [20]καὶ καταβιβάσω σε πρὸς τοὺς καταβαίνοντας εἰς βόθρον 20
πρὸς λαὸν αἰῶνος καὶ κατοικιῶ σε εἰς βάθη τῆς γῆς ὡς ἔρημον
αἰώνιον μετὰ καταβαινόντων εἰς βόθρον, ὅπως μὴ κατοικηθῇς μηδὲ
ἀνασταθῇς ἐπὶ γῆς ζωῆς. [21]ἀπώλειάν σε δώσω, καὶ οὐχ ὑπάρξεις 21
ἔτι εἰς τὸν αἰῶνα, λέγει κύριος κύριος.

[1]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Υἱὲ ἀνθρώπου, λαβὲ 27
ἐπὶ Σορ θρῆνον [3]καὶ ἐρεῖς τῇ Σορ τῇ κατοικούσῃ ἐπὶ τῆς εἰσόδου 3
τῆς θαλάσσης, τῷ ἐμπορίῳ τῶν λαῶν ἀπὸ νήσων πολλῶν Τάδε
λέγει κύριος τῇ Σορ Σὺ εἶπας Ἐγὼ περιέθηκα ἐμαυτῇ κάλλος μου.
[4]ἐν καρδίᾳ θαλάσσης τῷ Βεελιμ υἱοί σου περιέθηκάν σοι κάλλος. 4
[5]κέδρος ἐκ Σανιρ ᾠκοδομήθη σοι, ταινίαι σανίδων κυπαρίσσου ἐκ 5
τοῦ Λιβάνου ἐλήμφθησαν τοῦ ποιῆσαί σοι ἱστοὺς ἐλατίνους. [6]ἐκ 6
τῆς Βασανίτιδος ἐποίησαν τὰς κώπας σου, τὰ ἱερά σου ἐποίησαν
ἐξ ἐλέφαντος, οἴκους ἀλσώδεις ἀπὸ νήσων τῶν Χεττιιν. [7]βύσσος 7
μετὰ ποικιλίας ἐξ Αἰγύπτου ἐγένετό σοι στρωμνὴ τοῦ περιθεῖναί
σοι δόξαν καὶ περιβαλεῖν σε ὑάκινθον καὶ πορφύραν ἐκ τῶν νήσων
Ελισαι καὶ ἐγένετο περιβόλαιά σου. [8]καὶ οἱ ἄρχοντές σου οἱ κατοι- 8
κοῦντες Σιδῶνα καὶ Αράδιοι ἐγένοντο κωπηλάται σου· οἱ σοφοί
σου, Σορ, οἳ ἦσαν ἐν σοί, οὗτοι κυβερνῆταί σου. [9]οἱ πρεσβύτεροι 9
Βυβλίων καὶ οἱ σοφοὶ αὐτῶν ἦσαν ἐν σοί, οὗτοι ἐνίσχυον τὴν
βουλήν σου· καὶ πάντα τὰ πλοῖα τῆς θαλάσσης καὶ οἱ κωπηλάται

16 εκστασει] pr. και A | γην] pr. την A | καθεδουνται (cf. Thack. p. 272)] λ pro δ A^r || 17 πως Bpau.] + απωλου και rel. (in *O* sub ※) | επαινεστη B*†] σ > rel.: cf. Thack. p. 219 | η δουσα B†] pr. ητις εγενηθη ισχυρα εν θαλασση αυτη και οι κατοικουντες αυτην rel. (in *O* sub ※) || 18 και] + νυν Apau.: cf. 𝔐 | fin. Bpau.] + και ταραχθησονται αι(>A) νησοι εν τη θαλασση απο της εξοδιας σου rel. (in *O* sub ※) || 19 κατακαλυψη B†] -ψει rel. || 20 βαθη] pr. τα A | ανασταθης] -στης B || 21 ετι Bpau.] + και ζητηθηση A†; + και ζητηθηση και ουχ ευρεθηση rel. (in *O* sub ※) | κυριος κυριος] + ο θεος A: cf. 14 6

27 2 υιε ανθρ. Ra.] + και συ B†, pr. και συ rel. (in *O* sub ※) | επι σορ / θρηνον] tr. A || 3 εισοδου] εισ > A | κυριος] pr. αδωναι κυριος A: cf. 5 5 | τη ult.] επι A(†) || 4 υιοι] pr. και A† || 5 σαν(ε)ιρ] ε pro α B*L*: cf. 𝔐 | κυπαρισσινων Apau. (A† στ pro σσ) || 6 χεττιιν Ra.] χεττειν B†, χεττιειμ uel sim. rel. || 7 εγενετο περιβολαια σου] περιβ. εγεν. σοι A || 9 βυβλιων] ι pro υ A